Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-214371-p0001-6

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-214371-p0002-2

30.

32

# DE ANGELORVM NATVRA ET OFFICIO.

*Carmen.*

Scriptum

*AB*

*ALBERTO VOITO BORVSSO*

*SERVESTÆ*

*Apud Bonaventuram Fabrum.*

*M. D. VIC.*

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-214371-p0003-7

# VIRO
## MAGNIFICO ET NOBILI Domino IOANNI TRVCKENRODT In VVaalda.

*Illustriß: Pprr. Anhaltinorum Cancellario, Domino ac Patrono plurimum colendo.*

S. P. D.

*CVi dono haud lepidū hoc quidem & politū,*
*Sed pium tamen entheūq; carmen;*
*Amlingo quoq; iudice approbatum,*
*Castis præcipuè ANGELIS dicatum?*
*TRVCNRODI tibi. Namq; tu solebas*
*Nuper, (cùm Lare me tuo benignè*
*Unà cum Strubio, Spigelioq;,*
*Collegâq; meo lubens lubentem*
*Conuiuam acciperes) pio, erudito,*
*Docto, Dij boni! & Attici leporis*
*Pleno colloquio, aureoq; filo*
*Sermonis memorare: Quæ pericla*
*Quasq; effugeris oppidò ruinas*
*Cinctus flammiuoma Alitum phalange,*
*Tutusq; agmine Præstitum sacrorum,*
*Dum COMITIA te ImperI fatigant*

*Terrâ*

*Terrà, fluminibus simul sonoris.*
*Adde huc, aßiduo quòd, ut Latinos*
*Sic GRAIOS quoq; codices labore*
*Et vatum monumenta docta voluis,*
*Musasq; egregiè colis Pelasgas:*
*Nocturnaq; manu, manu diurna*
*Quæris, & teris Atticas Camœnas:*
*Quin multum tibi debeo, tuoq;*
*Me exsolui cupientem habes in ære.*
*Quare, te rogo, quicquid hoc opellæ est,*
*Serena accipe fronte, meq; magne*
*Patrone esse tuum sinas clientem:*
*Sic Deus tibi maximus SENECTAM*
*Concedat viridem: diúq; nobis*
*Seruet: sic homines tuæ uniuersi*
*Virtuti meritos ferant honores.*



Albertus Voitus.

Εὐλογία προσευτικὴ
Περὶ τῆς θαυμαστῆς ἁγίων Ἀγγέλων
Διακονίας.

Ἀρχόμενος πρῶτον σοι εὔχομαι υἱὲ θεοῖο
Εἰκὼν ἀρχετύποιο φύσις γενετῆρος ἴση:
Ὅς γε θεάγγελος ὢν πατρὸς νόον ὑψιμέδοντος
Πρῶτος ἐν ἐπιδανῷ διεπέφραδες ἀνδράσι κόσμῳ.
Δός μοι θεσπεσίου σου πνεύματος ἔμπλεον εἶναι:
Οὐρανίων ἀσωμάτων ἡρώων στρατὸν ἱερὸν,
Πνευματικῆς τε βίης ἀρχοὺς μεγαλήτορας: οἱ μὲν
Παγγενέτην περὶ ὑμνέειν θεὸν ἠδὲ μάχεσθαι
Εὐσεβέων πέρι, εὐφροσύνῃ χαίρουσιν ἀπαύστῳ.
Ὁππότε γὰρ στυγεραί τε νόσοι, καὶ κήδεα λυγρὰ
Γυιοβόρου ἔριδος, λοιμοῦ τε βέλη βροτολοιγοῦ
Τοὺς πέρ ἀγηγέραται ἀλίαστον μοῖραν ἐπάξαι:
Εἰ τότε θαυμαλέοι ἀνέρων θεράποντες ἀλιτρῶν
Μὴ παρέμειναι ἀεὶ, φθονερὸν τὸν λοιγὸν ἀμῦναι,
Ἦ τάχα ἠμύσειε πανώλεα πάντα κατ᾽ ἄκρης
Ἔσχατον εἰς ἀΐδην, βροτέη δ᾽ ἀφανίζετο ἀλκή.
Τῷ δ᾽ ἄρα νῦν ὕμνους ἀσώμεθα ἔξοχα θείους
Παμμεδέοντι, τόδ᾽ ὃς προσιώσιον ὤπασε δῶρον..
Ἀέναος σύμπαντα λόγῳ θεὸς ἡνιοχεύων
Ἀκρότατον τ᾽ ἀγαθὸν, μὴ πάντ᾽ αἰῶνα λαθέσθαι
Ἀγλαΐης τε ἑῆς ἀμάειν ἐρικυδέα καρπὸν
Ἤθελεν: ἀλλὰ λόγῳ σύνολον τεχνήμονι κόσμον
Στῆσεν εὐφρονέων, πολυδαίδαλα πολλά τε τεῦξε:
Τέκτονα δείκνυσθαι καλὸν σοφὸν ὑψιμέδοντα.
Παντοδαπῶν δὲ μάλιστα ἀλώφητόν τινα τιμὴν
Κτίσματα δίος ἔλαχεν καὶ ἐπήρατον ἔμμορε κῦδος:
Πρῶτά τε ἀμφίπολοι καθαροὶ, οἱ σώματος ἐκτὸς.

Ὡς νόες ἄφθαρτοι θεῖον νόον εἰσορόωντες,
Εὖ καὶ ἐπισταμένως βουλὴν κτίστοιο νοοῦντες·
Τοὺς μετὰ ἀνθρώπων γένος ἰδμοσύνῃσι νόοιο
Παντοίῃς ἀρετῇσι κεκασμένον ἔξοχα ἄλλων
Ἐξέφερεν γαίης, καὶ ὃν τύπον ἔνθετο θυμῷ,
Ὡσθ᾽ ἑὸν εὖ γνῶναι κτιστὴν καὶ πάντα κατορθοῦν,
Καὶ σφετέρῳ μολπῇσι φέρειν ἐπίηρα ποιητῇ.
Πνεύματα δ᾽ ὅσσα θεοῦ πρὸς ἀμύμονα εἰκόν᾽ ἔφυντο,
Τῶν μὲν πολλὰ φυὴν σφετέρην καὶ ἄνακτος ἐφετμὰς
Εὐλαβέως ἐφύλαξαν ἀκηλήτοις πραπίδεσσι,
Οὐδέποτ᾽ ἀργαλέῃσι παρήλιτεν ἀφραδίῃσι:
Πολλὰ δὲ μὴ σφετέρην ἀρχὴν ἐπετήρεον, οὔτε
Μίμνεν ἀληθείης θεοπειθέα θεσμὸν ἔχοντα,
Καὶ τάχα δὴ σφετέρῃσιν ἀτασθαλίῃσιν ὄλοντο,
Ἄσπονδοι φύσεως καὶ τέκτονος ἐχθροὶ ἁπάσης.
Τῶν δ᾽ ἄρχων ἀνδροκτόνος ὤν, καὶ ψεύδεα εἰδὼς
Αἱμυλίους τε λόγους καὶ ἐπίκλοπον ἦθος, ἁπάντων
Πρωτίστους ἀπάτησε δόλοις πολυπήμοσι ἀνδρῶν,
Καὶ δεσμοῖς θανάτου συλήσας θυμοβόροισιν
Εἰς ἀΐδαο βαθος μενέαινε πανώλεθρον ἕλκειν:
Καί νύ κεν ἐξετέλεσσεν, ὅ,τι φρεσὶν ἤπι μενοινᾷ,
Εἰ μὴ ἤπιος ὤν, εὔσπλαγχνος, καὶ μακρόθυμος,
Αἶψ᾽ ἐλέησε θεὸς γένος ἀνθρώπων πολυκλαύτων,
Υἱέα θ᾽ ὑψίθρονον ἰσόζυγον ᾧ γενετῆρι
Πέμψεν ἀλεξίκακον λαοσσόον ἄνδρα γενέσθαι:
Ὃς πατρὸς ἐκγεγαώς τε νόου ὁμοούσιος αὐτῷ
Ἔσκεν καὶ ζαθέης γενετῆρος ὁμόθρονος ἕδρης.
Ὡς δ᾽ ἐρατὸς χρόνος ἦλθε παροιχομένων ἐνιαυτῶν,
Οὐρανίων κατέβησεν ἀπ᾽ οὐλύμποιο καρήνων
Σάρκα τε ἑσσάμενος τινι ἀῤῥήτῳ ἐνὶ δεσμῷ
Ξύνωσειν θείην βροτοειδεῖ σύζυγα μορφήν:

Καὶ δέμας ἠδὲ φυὴν πάντως θνητοῖσιν ἐοικὼς
Νόσφιν ἄτερ κακίης ἐνομιλήσασκε βροτοῖσιν,
Ὥστε οἰζυρῶν μερόπων ἄπο πήματ᾽ ἀμύνειν
Ἀψόῤῥους τ᾽ ἀνάγειν εἰς οὐρανὸν, ἀντιπάλοις δὲ
Δυσμενέεσσ᾽ (οἵ τόν γε δόλον συνετεκτήναντο)
Αὖθι χολωσάμενος χαλεπὴν ἐπιθέσθαι ἀμοιβὴν,
Οἷς τε μέγ᾽ ὀχθίζων δαπλῆτας χεῖρας ἐφῆκε,
Ποσσί τ᾽ ἀκλίνεσσιν κεφαλὴν δεινοῖο βερέθρου
Τρίψε κάτω πέμψας ἀΐδου ἐς ὑποχθόνιον δῶ.
Οἱ δὲ καταπρηνεῖς ἀπὸ βηλοῦ θεσπεσίοιο
Σμερδαλέον κατόρουσαν ἐπὶ χθόνα, μαρμαρυγὴ ὥς.
Ἤρα θ᾽ ὑπὸ βροντῆς ὀβριμοεργοῦ εἶσι πέδονδε.
Ἔνθα κέ τις μείζων, καὶ ἀργαλεώτερος αὖθις
Δυστήνοις θνητοῖσι χόλος καὶ μῆνις ἐτύχθη.
Οὐ γὰρ ἅπαξ νικηθέντες κεκμηότες ἦσαν
Δαίμονες οὐχλυόεντες, ἀναιδέες, ἠπεροπευταί:
Παντοῖοι δὲ δόλοι, καὶ ἀγκύλα μήδε᾽ ἀλειτῶν
Ἐξ ὀργῆς ἀγρίησιν ἐνὶ φρεσὶν ἠερέθοντο.
Ὥστε βίῃ βαρύφθογγος ἀμαιμακέτοιο λέοντος
Ἐν νέμεϊ σκιερῷ, ὅτ᾽ ἔγειρεν γαστέρα λιμὸς,
Μυκᾷ σμερδαλέως ῥωπήϊα πυκνὰ διελθὼν,
Εἴτ᾽ οἴων μήλοισιν ἀτημάντοισιν ἐπέλθῃ
Ἢ κοῦφον νεβρὸν ἁρπάξῃ ἐλάφοιο ταχείης
Ὑψοῦ ὑπὲρ γαίης μετὰ γαμφηλῇσιν ἀφέλκων
Δαρδάπτει, αὐτὸς δὲ παρήϊος αἵματι φοινὸς
Στάγμα ἀπειρεσίων ψεκάδων κατέχευεν ἔραζε
Τοῖοι γοργώπων ἡγήτορες ἠεροφοίτων
Ὠμόφρονες λείουσιν ἐοικότες ὠμοφάγοισιν
Πάντοθεν ἀμφιέπουσι χαμαιγενέων γένος ἀνδρῶν,
Οὔθ᾽ ὁμοιόν τε βίῃ οὔτ᾽ ἄλκιμον ἀντιμάχεσθαι,
Καίπερ ἕκαστος ἀεὶ ἀνδροκτασίῃσιν ἐνοχλεῖ
Ἀμύλα μηδόμενος πιτήνορσι· οὐδ᾽ ἂν ἄναλκις
Γυῖα λάβοι καμάτος, οὐδ᾽ ἀνκοπάσειε μογήσας.
Γι τοκ᾽ ἐν ἀνθρώποισιν θεοῦ κλέος ἱρὸν ἀλείψας
Πᾶσαν τὴν ἄγυριν θεοπειθέα τυτθὸν ἔασαν.

Ἀμφαδὸν

Ἀμφαδὸν ἐκπέρσας ἢ κρυπτάδι' ἐξαλαπάξῃ.
Οὐδέ τις ἐκφεύξειε λύκους ποτὲ ἀγκυλομήτας.
Εἰ μὴ ἀγγελικῆς ἑσμὸν πτερόεντα φάλαγγος
Κυκλόσε τοῖς ἁγίοισιν ἔθηκ' ὡς ἄλκαρ ἄαπτον.
Ἀῤῥαγέεσσι τοίοις καὶ τείχεσιν ἐστεφάνωσεν.
Τοὺς γὰρ ἔτ' ἀστεμφεῖς ἐνὶ φραδμοσύνῃσιν ἐποίει,
Καὶ μονίμους ὁ Θεὸς, πρώτης ὡς ἦσαν ἀπ' ἀρχῆς.
Τοῦτοι γοῦν αἰεὶ τὸν ὑπέρτατον αὐτογένεθλον
Ὑψιμέδοντα μόνον τε Θεὸν τριάδ' ἐν ἀκιχήτῳ
Ἔμπροσθεν δέρκουσιν ἐν ἀντιπέροισιν ὀπωπαῖς.
Καὶ τὸ ἀμετροβαθὲς σοφίης καὶ ἰδμοσυνάων
Θαυμαστῶς ἀτενίζοντες φάει ἱμερόεντι
Ὕμνοις καὶ μολπῇσι καὶ ἐνθύμοις θεραπείαις
Ἀτρεκέως ἄζουσιν ἄνακτ' ἐπίηρα φέροντες.
Πολλαί τ' ἐν προβολῇσι τῶν κρατερῶν αἰχμητῶν
Μυριάδες κατίασιν ἀπ' ἀστερόεντος ὀλύμπου
Νωλεμέως μεμαυῖαι ἀλεξέμεν ἀνθρώποισι·
Ἔκ τε ἀεικελίων ἐρύουσι κακῶν, δυνατοὶ γὰρ
Πρόφρονες ἐν δεινοῖς ἐπαρήγονες ἔν τε βιωτῷ
Πάντοθ' ὑπηρετέουσι, πατρὸς μεγάλοιο ἕκητι.

Χαῖρε σὺ πατρὸς εἰκὼν μεγάλης ἀρχάγγελε βουλῆς
Γενναίης σέο μηλοβοτὴρ πολυφέρτατος αὐλῆς!
Σοὶ μὲν ἄναξ χάριν ἐκ κραδίης μενοεικέα δῶμεν,
Ὅττι θεοφραδέος μυστήρια θέσφατα μύθου
Ἵλαος ἐκ κόλποιο ἀμωμήτοιο τοκῆος
Ἀνθρώποις πρέσβευσας εὐάγγελος, ἠδὲ σεαυτὸν
Ἐν βωμοῖς σταυροῖο ἰσόῤῥοπον λῦτρ' ἀπέδωκας.
Σοὶ κλέος, ὦ βασιλεῦ, πτερόεντων, κτίστορ, ὑπουργῶν
Σοί τε διακτορίης φυλακῆς δὲ τεοῖς προβάτοισι:
Νῦν δ' αὖ εὐχόμεθ' ὡσαύτως λυτρωτὰ Ἰησοῦ,
Κλῦθι τεῶν οἰῶν, ποιμὴν κρατὺ, ἠπιόδωρε:
Ἦ γὰρ ὁρᾷς μογερὸν σὸν ποίμνιον οἷα πέπονθε,
Πάρ τε λύκων ἀγρίων, πεινώντων πάρ τε λεόντων
Οὔρεσιν ἐν κόσμου οἵ σ' ἄρνια δηώσαντες
Δάπτουσ' ἠδὲ ἑὴν βόσκονται γαστέρ' ἄναλτον

Λάψοντες.

Δάψοντες γλώσσῃσιν ἀραιῇσιν μέλαν αἷμα.
Ῥῦσο δὴ λύμης τοὺς τλήμονας, ἀγγελικόν τε
Πέμψον ἐπ᾽ ἄμμιν ἀρωγὸν ἀλεξίκακον στρατὸν ἡμῖν.
Ναὶ μὰ ὁρῶν ἐφορᾷς, πῶς γάρ σε λαθοίμεθα, ποιμὴν
Ἄγρυπνε σῶν σπανίων προβάτων μηλοσσόε ποιμήν.
Πῶς γὰρ τῶν ἀμελεῖς ἰδίῳ τοὺς αἵματ᾽ ἔτισας;

Be 231
8°

ULB Halle 3
002 690 756

Sb.

VD17

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-214371-p0012-7

# DE ANGELORUM NATURA ET OFFICIO.

*Carmen.*

Scriptum

*AB*

*ALBERTO VOITO BORUSSO*

SERVESTÆ

*Apud Bonaventuram Fabrum.*

*M. D. VIC.*

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-214371-p0013-3